# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β

1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ
ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν
καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· 2 χάρις ὑμῖν καὶ
εἰρήνη ἀπὸ Θεοῦ πατρὸς *ἡμῶν καὶ Κυρίου
Ἰησοῦ Χριστοῦ.
3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε
περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι
ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει
ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς
ἀλλήλους· 4 ὥστε †ἡμᾶς αὐτοὺς ἐν ὑμῖν
‡καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ὑπὲρ
τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι
τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς
ἀνέχεσθε· 5 ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ
Θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας
τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε· 6 εἴπερ δίκαιον
παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς
θλίψιν, 7 καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν
μεθ᾽ ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου
Ἰησοῦ ἀπ᾽ οὐρανοῦ μετ᾽ ἀγγέλων δυνάμεως
αὐτοῦ, 8 ἐν §πυρὶ φλογός, διδόντος ἐκδίκησιν
τοῖς μὴ εἰδόσι Θεόν, καὶ τοῖς μὴ ὑπακούουσι
τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν *Ἰησοῦ·

---

* **1:2** ημων ¦ — SBL WH † **1:4** ημας αυτους ¦ αυτους ημας CT ‡ **1:4** καυχασθαι ¦ εγκαυχασθαι NA SBL ¦ ενκαυχασθαι TH WH § **1:8** πυρι φλογος ¦ φλογι πυρος SBL * **1:8** ιησου ¦ ιησου χριστου ANT BYZ HF PCK TR

9 οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον ἀπὸ
προσώπου τοῦ Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς
ἰσχύος αὐτοῦ, 10 ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν
τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι
τοῖς †πιστεύσασιν ὅτι ἐπιστεύθη τὸ μαρτύριον
ἡμῶν ἐφ᾽ ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. 11 Εἰς
ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα
ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ
πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ
ἔργον πίστεως ἐν δυνάμει· 12 ὅπως ἐνδοξασθῇ
τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν ‡Ἰησοῦ ἐν ὑμῖν, καὶ
ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν
καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

# 2

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς
παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ᾽ αὐτόν, 2 εἰς τὸ
μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός,
*μήτε θροεῖσθαι, μήτε διὰ †πνεύματος, μήτε
διὰ λόγου, μήτε δι᾽ ἐπιστολῆς ὡς δι᾽ ἡμῶν,
ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ ‡Χριστοῦ· 3 μή
τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον·
ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ
ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς §ἁμαρτίας, ὁ
υἱὸς τῆς ἀπωλείας, 4 ὁ ἀντικείμενος καὶ
ὑπεραιρόμενος ἐπὶ *πάντα λεγόμενον θεὸν ἢ

† **1:10** πιστευσασιν ¦ πιστευουσιν TR ‡ **1:12** ιησου ¦ ιησου χριστου ANT BYZ PCK TR * **2:2** μητε ¦ μηδε CT † **2:2** πνευματος ¦ του πνευματος ANT ‡ **2:2** χριστου ¦ κυριου CT § **2:3** αμαρτιας 93.5% ¦ ανομιας CT 5.5% * **2:4** παντα ¦ παν το SCR

σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ
†ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι
ἐστὶ Θεός. 5 Οὐ μνημονεύετε ὅτι ἔτι ὢν
πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν; 6 Καὶ νῦν
τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι
αὐτὸν ἐν τῷ ‡ἑαυτοῦ καιρῷ. 7 Τὸ γὰρ
μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας· μόνον
ὁ κατέχων ἄρτι, ἕως ἐκ μέσου γένηται, 8 καὶ
τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος
§ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ,
καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας
αὐτοῦ· 9 οὗ ἐστιν ἡ παρουσία κατ᾽ ἐνέργειαν
τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις
καὶ τέρασι ψεύδους, 10 καὶ ἐν πάσῃ ἀπάτῃ
*τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις, ἀνθ᾽
ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο
εἰς τὸ σωθῆναι αὐτούς. 11 Καὶ διὰ τοῦτο
†πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς
τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει· 12 ἵνα κριθῶσι
‡πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, §ἀλλ᾽
εὐδοκήσαντες *ἐν τῇ ἀδικίᾳ.
13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ
πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ
Κυρίου, ὅτι †εἵλετο ὑμᾶς ὁ Θεὸς ‡ἀπ᾽ ἀρχῆς
εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ

---

† **2:4** ως θεον 78.4% ¦ — CT 7.7% ‡ **2:6** ἑαυτοῦ ¦ αὐτοῦ WH § **2:8** αναλωσει 78.7% ¦ ιησους ανελει CT 4.2% * **2:10** της αδικιας εν ¦ αδικιας CT † **2:11** πεμψει ¦ πεμπει CT ‡ **2:12** παντες ¦ απαντες TH § **2:12** αλλ ¦ αλλα NA27 SBL TH WH * **2:12** εν ¦ — CT † **2:13** ειλετο ¦ ειλατο CT ‡ **2:13** απ αρχης ¦ απαρχην NA SBL

πίστει ἀληθείας· 14 εἰς ὃ §ἐκάλεσεν ὑμᾶς διὰ
τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 15 Ἄρα
οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς
παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου,
εἴτε δι᾽ ἐπιστολῆς ἡμῶν.
16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός,
καὶ *ὁ Θεὸς καὶ πατὴρ ἡμῶν ὁ ἀγαπήσας ἡμᾶς,
καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα
ἀγαθὴν ἐν χάριτι, 17 παρακαλέσαι ὑμῶν τὰς
καρδίας, καὶ στηρίξαι †ὑμᾶς ἐν παντὶ ‡λόγῳ
καὶ ἔργῳ ἀγαθῷ.

# 3

1 Τὸ λοιπόν, προσεύχεσθε, ἀδελφοί, περὶ
ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ
δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς, 2 καὶ ἵνα
ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν
ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις. 3 Πιστὸς
δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ
φυλάξει ἀπὸ τοῦ πονηροῦ. 4 Πεποίθαμεν δὲ ἐν
Κυρίῳ ἐφ᾽ ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν *ὑμῖν,
καὶ ποιεῖτε καὶ ποιήσετε. 5 Ὁ δὲ Κύριος
κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην
τοῦ Θεοῦ, καὶ εἰς †τὴν ὑπομονὴν τοῦ Χριστοῦ.
6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν
ὀνόματι τοῦ Κυρίου ‡ἡμῶν Ἰησοῦ Χριστοῦ,

§ **2:14** εκαλεσεν ¦ και εκαλεσεν NA * **2:16** ο θεος και ¦ ο θεος ο NA TH WH ¦ θεος ο SBL † **2:17** υμας ¦ — CT ‡ **2:17** λογω και εργω ¦ εργω και λογω CT * **3:4** υμιν ¦ — CT † **3:5** την ¦ — ST ‡ **3:6** ημων ¦ — WH

στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ
ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν
παράδοσιν ἣν §παρέλαβον παρʼ ἡμῶν. 7 Αὐτοὶ
γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· ὅτι οὐκ
ἠτακτήσαμεν ἐν ὑμῖν, 8 οὐδὲ δωρεὰν ἄρτον
ἐφάγομεν παρά τινος, ἀλλʼ ἐν κόπῳ καὶ
μόχθῳ, *νύκτα καὶ ἡμέραν ἐργαζόμενοι,
πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν· 9 οὐχ
ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλʼ ἵνα ἑαυτοὺς
τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς.
10 Καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο
παρηγγέλλομεν ὑμῖν ὅτι εἴ τις οὐ θέλει
ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. 11 Ἀκούομεν
γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως,
μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.
12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ
παρακαλοῦμεν †διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν
ἑαυτῶν ἄρτον ἐσθίωσιν. 13 Ὑμεῖς δέ, ἀδελφοί,
μὴ ‡ἐκκακήσητε καλοποιοῦντες.
14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν
διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, §καὶ
μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ, 15 καὶ
μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς
ἀδελφόν.
16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν

---

§ **3:6** παρελαβον ¦ παρελαβε TR ¦ παρελαβοσαν NA SBL TH ¦ παρελαβετε WH * **3:8** νυκτα και ημεραν ¦ νυκτος και ημερας CT † **3:12** δια του κυριου ημων ιησου χριστου ¦ εν κυριω ιησου χριστω CT ‡ **3:13** εκκακησητε ¦ εγκακησητε NA SBL TH ¦ ενκακησητε WH § **3:14** και μη συναναμιγνυσθε ¦ μη συναναμιγνυσθαι CT

τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. Ὁ Κύριος μετὰ πάντων ὑμῶν.
17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω. 18 Ἡ
χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. *Ἀμήν.†

* **3:18** αμην ¦ — CT † **3:18** The following scribal note is included in the colophons of many Greek manuscripts: Πρὸς Θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ Ἀθηνῶν.

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.

The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:

Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.

The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-14

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 23 Apr 2024

ebdf933b-03a4-5add-853f-51a05e168973